# Homère Odyssée XXIII Texte grec

## 1-31 Euryclée éveille Pénélope :
## Ulysse est de retour ! Les prétendants sont morts

Γρηῢς δ ’ εἰς ὑπερῷ ’ ἀνεβήσετο καγχαλόωσα ,
δεσποίνῃ ἐρέουσα φίλον πόσιν ἔνδον ἐόντα ·
γούνατα δ ’ ἐρρώσαντο , πόδες δ ’ ὑπερικταίνοντο .
Στῆ δ ’ ἄρ ’ ὑπὲρ κεφαλῆς , καί μιν πρὸς μῦθον ἔειπεν ·
« Ἔγρεο , Πηνελόπεια , φίλον τέκος , ὄφρα ἴδηαι
ὀφθαλμοῖσι τεοῖσι τά τ ’ ἔλδεαι ἤματα πάντα .
Ἦλθ ’ Ὀδυσεὺς καὶ οἶκον ἱκάνεται , ὀψέ περ ἐλθών .
Μνηστῆρας δ ’ ἔκτεινεν ἀγήνορας , οἵτε οἱ οἶκον
κήδεσκον καὶ κτήματ ’ ἔδον βιόωντό τε παῖδα . »
Τὴν δ ’ αὖτε προσέειπε περίφρων Πηνελόπεια ·
« Μαῖα φίλη , μάργην σε θεοὶ θέσαν , οἵ τε δύνανται
ἄφρονα ποιῆσαι καὶ ἐπίφρονά περ μάλ ’ ἐόντα ,
καί τε χαλιφρονέοντα σαοφροσύνης ἐπέβησαν ·
οἵ σέ περ ἔβλαψαν · πρὶν δὲ φρένας αἰσίμη ἦσθα .
Τίπτε με λωβεύεις πολυπενθέα θυμὸν ἔχουσαν ,
ταῦτα παρὲξ ἐρέουσα , καὶ ἐξ ὕπνου μ ’ ἀνεγείρεις
ἡδέος , ὅς μ ’ ἐπέδησε φίλα βλέφαρ ’ ἀμφικαλύψας ;
Οὐ γάρ πω τοιόνδε κατέδραθον , ἐξ οὗ Ὀδυσσεὺς
ᾤχετ ’ ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν .
Ἀλλ ’ ἄγε νῦν κατάβηθι , καὶ ἂψ ἔρχευ μέγαρόνδε .
Εἰ γάρ τίς μ ’ ἄλλη γε γυναικῶν , αἵ μοι ἔασι ,
ταῦτ ’ ἐλθοῦς ’ ἤγγειλε καὶ ἐξ ὕπνου ἀνέγειρεν ,
τῷ κε τάχα στυγερῶς μιν ἐγὼν ἀπέπεμψα νέεσθαι
αὖτις ἔσω μέγαρον · σὲ δὲ τοῦτό γε γῆρας ὀνήσει . »
Τὴν δ ’ αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια ·
« Οὔτι σε λωβεύω , τέκνον φίλον , ἀλλ ’ ἔτυμόν τοι
ἦλθ ’ Ὀδυσεὺς καὶ οἶκον ἱκάνεται , ὡς ἀγορεύω ,
ὁ ξεῖνος , τὸν πάντες ἀτίμων ἐν μεγάροισι .
Τηλέμαχος δ ’ ἄρα μιν πάλαι ᾔδεεν ἔνδον ἐόντα ,

ἀλλὰ σαοφροσύνῃσι νοήματα πατρὸς ἔκευθεν ,
ὄφρ ᾿ ἀνδρῶν τίσαιτο βίην ὑπερηνορεόντων . »

### 32- 84 Incrédulité de Pénélope
### Pénélope refuse la vérité, malgré la preuve de la cicatrice

Ὣς ἔφαθ ᾿· ἡ δ ᾿ ἐχάρη , καὶ ἀπὸ λέκτροιο θοροῦσα
γρηῒ περιπλέχθη , βλεφάρων δ ᾿ ἀπὸ δάκρυον ἧκεν ·
καί μιν φωνήσασα ἔπεα πτερόεντα προσηύδα ·
« Εἰ δ ᾿ ἄγε δή μοι , μαῖα φίλη , νημερτὲς ἐνίσπες ,
εἰ ἐτεὸν δὴ οἶκον ἱκάνεται , ὡς ἀγορεύεις ,
ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφῆκεν
μοῦνος ἐών , οἱ δ ᾿ αἰὲν ἀολλέες ἔνδον ἔμιμνον . »
Τὴν δ ᾿ αὖτε προσέειπε φίλη τροφὸς Εὐρυκλέεια·
« Οὐκ ἴδον , οὐ πυθόμην , ἀλλὰ στόνον οἶον ἄκουσα
κτεινομένων · ἡμεῖς δὲ μυχῷ θαλάμων εὐπήκτων
ἥμεθ ᾿ ἀτυζόμεναι , σανίδες δ ᾿ ἔχον εὖ ἀραρυῖαι ,
πρίν γ ᾿ ὅτε δή με σὸς υἱὸς ἀπὸ μεγάροιο κάλεσσεν
Τηλέμαχος · τὸν γάρ ῥα πατὴρ προέηκε καλέσσαι .
Εὗρον ἔπειτ ᾿ Ὀδυσῆα μετὰ κταμένοισι νέκυσσιν
ἑσταόθ ᾿· οἱ δέ μιν ἀμφί , κραταίπεδον οὖδας ἔχοντες ,
κείατ ᾿ ἐπ ᾿ ἀλλήλοισι · ἰδοῦσά κε θυμὸν ἰάνθης
[ αἵματι καὶ λύθρῳ πεπαλαγμένων ὥστε λέοντα ].
Νῦν δ ᾿ οἱ μὲν δὴ πάντες ἐπ ᾿ αὐλείῃσι θύρῃσιν
ἀθρόοι · αὐτὰρ ὁ δῶμα θεειοῦται περικαλλές ,
πῦρ μέγα κηάμενος · σὲ δέ με προέηκε καλέσσαι.
Ἀλλ ᾿ ἕπευ , ὄφρα σφῶϊν ἐϋφροσύνης ἐπιβῆτον
ἀμφοτέρω φίλον ἦτορ · ἐπεὶ κακὰ πολλὰ πέποσθε .
Νῦν δ ᾿ ἤδη τόδε μακρὸν ἐέλδωρ ἐκτετέλεσται ·
ἦλθε μὲν αὐτὸς ζωὸς ἐφέστιος , εὗρε δὲ καὶ σὲ
καὶ παῖδ ᾿ ἐν μεγάροισι · κακῶς δ᾿ οἵπερ μιν ἔρεζον
μνηστῆρες , τοὺς πάντας ἐτίσατο ᾧ ἐνὶ οἴκῳ . »
Τὴν δ ᾿ αὖτε προσέειπε περίφρων Πηνελόπεια·

« Μαῖα φίλη , μή πω μέγ ' ἐπεύχεο καγχαλόωσα .
Οἶσθα γὰρ ὥς κ ' ἀσπαστὸς ἐνὶ μεγάροισι φανείη
πᾶσι , μάλιστα δ ' ἐμοί τε καὶ υἱέϊ , τὸν τεκόμεσθα ·
ἀλλ ' οὐκ ἔσθ ' ὅδε μῦθος ἐτήτυμος , ὡς ἀγορεύεις ,
ἀλλά τις ἀθανάτων κτεῖνε μνηστῆρας ἀγαυούς ,
ὕβριν ἀγασσάμενος θυμαλγέα καὶ κακὰ ἔργα .
Οὔτινα γὰρ τίεσκον ἐπιχθονίων ἀνθρώπων ,
οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν , ὅτις σφέας εἰσαφίκοιτο ·
τῷ δι ' ἀτασθαλίας ἔπαθον κακόν · αὐτὰρ Ὀδυσσεὺς
ὤλεσε τηλοῦ νόστον Ἀχαιΐδος , ὤλετο δ ' αὐτός . »
Τὴν δ ' ἠμείβετ ' ἔπειτα φίλη τροφὸς Εὐρύκλεια ·
« Τέκνον ἐμόν , ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων ,
ἣ πόσιν , ἔνδον ἐόντα παρ ' ἐσχάρῃ , οὔποτ ' ἔφησθα
οἴκαδ ' ἐλεύσεσθαι · θυμὸς δέ τοι αἰὲν ἄπιστος .
Ἀλλ ' ἄγε τοι καὶ σῆμα ἀριφραδὲς ἄλλο τι εἴπω ,
οὐλήν , τήν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι .
Τὴν ἀπονίζουσα φρασάμην , ἔθελον δὲ σοὶ αὐτῇ
εἰπέμεν · ἀλλά με κεῖνος ἑλὼν ἐπὶ μάστακα χερσὶν
οὐκ ἔα εἰπεῖν , πολυϊδρείῃσι νόοιο .
Ἀλλ ' ἕπευ · αὐτὰρ ἐγὼν ἐμέθεν περιδώσομαι αὐτῆς ,
αἴ κέν σ ' ἐξαπάφω , κτεῖναί μ ' οἰκτίστῳ ὀλέθρῳ . »
Τὴν δ' ἠμείβετ ' ἔπειτα περίφρων Πηνελόπεια ·
« Μαῖα φίλη , χαλεπόν σε θεῶν αἰειγενετάων
δήνεα εἴρυσθαι , μάλα περ πολύϊδριν ἐοῦσαν ·
ἀλλ ' ἔμπης ἴομεν μετὰ παῖδ ' ἐμόν , ὄφρα ἴδωμαι
ἄνδρας μνηστῆρας τεθνειότας , ἠδ ' ὃς ἔπεφνεν . »

## 85-116 Malgré les reproches de Télémaque, Pénélope refuse de reconnaître Ulysse dans ce mendiant en haillons

« Ὣς φαμένη κατέβαιν ' ὑπερώϊα · πολλὰ δέ οἱ κῆρ
ὥρμαιν ', ἢ ἀπάνευθε φίλον πόσιν ἐξερεείνοι ,
ἦ παρστᾶσα κύσειε κάρη καὶ χεῖρε λαβοῦσα .
Ἡ δ ' ἐπεὶ εἰσῆλθεν καὶ ὑπέρβη λάϊνον οὐδόν ,

ἕζετ ' ἔπειτ ' Ὀδυσῆος ἐναντίη , ἐν πυρὸς αὐγῇ ,
τοίχου τοῦ ἑτέρου · ὁ δ ' ἄρα πρὸς κίονα μακρὴν
ἧστο κάτω ὁρόων , ποτιδέγμενος εἴ τί μιν εἴποι
ἰφθίμη παράκοιτις , ἐπεὶ ἴδεν ὀφθαλμοῖσιν .
Ἡ δ ' ἄνεω δὴν ἧστο , τάφος δέ οἱ ἦτορ ἵκανεν ·
ὄψει δ ' ἄλλοτε μέν μιν ἐνωπαδίως ἐσίδεσκεν ,
ἄλλοτε δ ' ἀγνώσσασκε κακὰ χροῒ εἵματ ' ἔχοντα .
Τηλέμαχος δ ' ἐνένιπε , ἔπος τ ' ἔφατ ' ἔκ τ ' ὀνόμαζε ·
« Μῆτερ ἐμή , δύσμητερ , ἀπηνέα θυμὸν ἔχουσα ,
τίφθ ' οὕτω πατρὸς νοσφίζεαι , οὐδὲ παρ ' αὐτὸν
ἑζομένη μύθοισιν ἀνείρεαι οὐδὲ μεταλλᾷς ;
Οὐ μέν κ ' ἄλλη γ ' ὧδε γυνὴ τετληότι θυμῷ
ἀνδρὸς ἀφεσταίη , ὅς οἱ κακὰ πολλὰ μογήσας
ἔλθοι ἐεικοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν ·
σοὶ δ ' αἰεὶ κραδίη στερεωτέρη ἐστὶ λίθοιο . »
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια ·
« Τέκνον ἐμόν , θυμός μοι ἐνὶ στήθεσσι τέθηπεν ·
οὐδέ τι προσφάσθαι δύναμαι ἔπος οὐδ ' ἐρέεσθαι
οὐδ ' εἰς ὦπα ἰδέσθαι ἐναντίον . Εἰ δ ' ἐτεὸν δὴ
ἔστ ' Ὀδυσεὺς καὶ οἶκον ἱκάνεται , ἦ μάλα νῶϊ
γνωσόμεθ ' ἀλλήλων καὶ λώϊον · ἔστι γὰρ ἡμῖν
σήμαθ ' , ἃ δὴ καὶ νῶϊ κεκρυμμένα ἴδμεν ἀπ ' ἄλλων . »
Ὣς φάτο , μείδησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς ,
αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα ·
« Τηλέμαχ ' , ἦτοι μητέρ ' ἐνὶ μεγάροισιν ἔασον
πειράζειν ἐμέθεν · τάχα δὲ φράσεται καὶ ἄρειον .
Νῦν δ ' ὅττι ῥυπόω , κακὰ δὲ χροῒ εἵματα εἷμαι ,
τοὔνεκ ' ἀτιμάζει με καὶ οὔ πω φησὶ τὸν εἶναι .

**117-165 Ulysse invente la ruse de la noce pour échapper à la vendetta**

**Athéna lui rend sa véritable apparence**

« Ἡμεῖς δὲ φραζώμεθ ’ ὅπως ὄχ ’ ἄριστα γένηται .
Καὶ γάρ τίς θ ’ ἕνα φῶτα κατακτείνας ἐνὶ δήμῳ ,
ᾧ μὴ πολλοὶ ἔωσιν ἀοσσητῆρες ὀπίσσω ,
φεύγει πηούς τε προλιπὼν καὶ πατρίδα γαῖαν ·
ἡμεῖς δ ’ ἕρμα πόληος ἀπέκταμεν , οἳ μέγ ’ ἄριστοι
κούρων εἰν Ἰθάκῃ · τὰ δέ σε φράζεσθαι ἄνωγα . »
Τὸν δ ’ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα ·
« Αὐτὸς ταῦτά γε λεῦσσε , πάτερ φίλε · σὴν γὰρ ἀρίστην
μῆτιν ἐπ ’ ἀνθρώπους φάσ ’ ἔμμεναι , οὐδέ κέ τίς τοι
ἄλλος ἀνὴρ ἐρίσειε καταθνητῶν ἀνθρώπων .
Ἡμεῖς δ ’ ἐμμεμαῶτες ἅμ ’ ἑψόμεθ ’, οὐδέ τί φημι
ἀλκῆς δευήσεσθαι , ὅση δύναμίς γε πάρεστιν . »
Τὸν δ ’ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς ·
« Τοιγὰρ ἐγὼ ἐρέω , ὥς μοι δοκεῖ εἶναι ἄριστα .
Πρῶτα μὲν ἂρ λοέσασθε , καὶ ἀμφιέσασθε χιτῶνας ,
δμῳὰς δ ’ ἐν μεγάροισιν ἀνώγετε εἵμαθ ’ ἑλέσθαι ·
αὐτὰρ θεῖος ἀοιδὸς , ἔχων φόρμιγγα λίγειαν ,
ἡμῖν ἡγείσθω φιλοπαίγμονος ὀρχηθμοῖο ,
ὥς κέν τις φαίη γάμον ἔμμεναι , ἐκτὸς ἀκούων ,
ἢ ἀν ’ ὁδὸν στείχων , ἢ οἳ περιναιετάουσι ·
μὴ πρόσθεν κλέος εὐρὺ φόνου κατὰ ἄστυ γένηται
ἀνδρῶν μνηστήρων , πρίν γ ’ ἡμέας ἐλθέμεν ἔξω
ἀγρὸν ἐς ἡμέτερον πολυδένδρεον · ἔνθα δ ’ ἔπειτα
φρασσόμεθ ’ ὅττι κε κέρδος Ὀλύμπιος ἐγγυαλίξῃ . »
Ὣς ἔφαθ ’, οἱ δ’ ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο .
Πρῶτα μὲν οὖν λοέσαντο καὶ ἀμφιέσαντο χιτῶνας ,
ὅπλισθεν δὲ γυναῖκες · ὁ δ ’ εἵλετο θεῖος ἀοιδὸς
φόρμιγγα γλαφυρήν , ἐν δέ σφισιν ἵμερον ὦρσεν
μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο .
Τοῖσιν δὲ μέγα δῶμα περιστεναχίζετο ποσσὶν
ἀνδρῶν παιζόντων καλλιζώνων τε γυναικῶν .
Ὧδε δέ τις εἴπεσκε δόμων ἔκτοσθεν ἀκούων ·

« Ἦ μάλα δή τις ἔγημε πολυμνήστην βασίλειαν ·
σχετλίη , οὐδ ᾿ ἔτλη πόσιος οὗ κουριδίοιο
εἴρυσθαι μέγα δῶμα διαμπερές , ἕως ἵκοιτο . »
Ὣς ἄρα τις εἴπεσκε · τὰ δ᾿ οὐκ ἴσαν , ὡς ἐτέτυκτο .
Αὐτὰρ Ὀδυσσῆα μεγαλήτορα ᾧ ἐνὶ οἴκῳ
Εὐρυνόμη ταμίη λοῦσεν καὶ χρῖσεν ἐλαίῳ ,
ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλεν ἠδὲ χιτῶνα ·
αὐτὰρ κὰκ κεφαλῆς χεῦεν πολὺ κάλλος Ἀθήνη
[ μείζονά τ ᾿ εἰσιδέειν καὶ πάσσονα · κὰδ δὲ κάρητος
οὔλας ἧκε κόμας , ὑακινθίνῳ ἄνθει ὁμοίας .
Ὡς δ ᾿ ὅτε τις χρυσὸν περιχεύεται ἀργύρῳ ἀνὴρ
ἴδρις , ὃν Ἥφαιστος δέδαεν καὶ Παλλὰς Ἀθήνη
τέχνην παντοίην , χαρίεντα δὲ ἔργα τελείει ·
ὣς μὲν τῷ περίχευε χάριν κεφαλῇ τε καὶ ὤμοις ] .
Ἐκ δ ᾿ ἀσαμίνθου βῆ δέμας ἀθανάτοισιν ὁμοῖος ·
ἂψ δ ᾿ αὖτις κατ ᾿ ἄρ ᾿ ἕζετ ᾿ ἐπὶ θρόνου ἔνθεν ἀνέστη ,
ἀντίον ἧς ἀλόχου , καί μιν πρὸς μῦθον ἔειπεν ·

## 165- 240 Reproches d’Ulysse et dernière vérification de Pénélope
## Le lit nuptial : Ulysse est reconnu

« Δαιμονίη , περί σοίγε γυναικῶν θηλυτεράων
κῆρ ἀτέραμνον ἔθηκαν Ὀλύμπια δώματ ᾿ ἔχοντες ·
οὐ μέν κ ᾿ ἄλλη γ ᾿ ὧδε γυνὴ τετληότι θυμῷ
ἀνδρὸς ἀφεσταίη , ὅς οἱ κακὰ πολλὰ μογήσας
ἔλθοι ἐεικοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν .
Ἀλλ ᾿ ἄγε μοι , μαῖα , στόρεσον λέχος , ὄφρα καὶ αὐτὸς
λέξομαι · ἦ γὰρ τῇγε σιδήρεος ἐν φρεσὶ θυμός . »
Τὸν δ ᾿ αὖτε προσέειπε περίφρων Πηνελόπεια ·
« Δαιμόνι ᾿ , οὔτ᾿ ἄρ τι μεγαλίζομαι οὔτ ᾿ ἀθερίζω
οὔτε λίην ἄγαμαι · μάλα δ ᾿ εὖ οἶδ ᾿ οἷος ἔησθα
ἐξ Ἰθάκης ἐπὶ νηὸς ἰὼν δολιχηρέτμοιο.
Ἀλλ ᾿ ἄγε οἱ στόρεσον πυκινὸν λέχος , Εὐρύκλεια ,

ἐκτὸς ἐϋσταθέος θαλάμου , τόν ῥ ᾽ αὐτὸς ἐποίει ·
ἔνθα οἱ ἐκθεῖσαι πυκινὸν λέχος ἐμβάλετ ᾽ εὐνήν ,
κώεα καὶ χλαίνας , καὶ ῥήγεα σιγαλόεντα. »
Ὣς ἄρ ᾽ ἔφη πόσιος πειρωμένη · αὐτὰρ Ὀδυσσεὺς
ὀχθήσας , ἄλοχον προσεφώνεε κεδνὰ ἰδυῖαν ·
« Ὦ γύναι , ἦ μάλα τοῦτο ἔπος θυμαλγὲς ἔειπες ·
Τίς δέ μοι ἄλλοσε θῆκε λέχος ; Χαλεπὸν δέ κεν εἴη
καὶ μάλ ᾽ ἐπισταμένῳ , ὅτε μὴ θεὸς αὐτὸς ἐπελθὼν
ῥηϊδίως ἐθέλων θείη ἄλλῃ ἐνὶ χώρῃ ·
ἀνδρῶν δ ᾽ οὔ κέν τις ζωὸς βροτός , οὐδὲ μάλ ᾽ ἡβῶν ,
ῥεῖα μετοχλήσειεν , ἐπεὶ μέγα σῆμα τέτυκται
ἐν λέχει ἀσκητῷ · τὸ δ ᾽ ἐγὼ κάμον οὐδέ τις ἄλλος .
Θάμνος ἔφυ τανύφυλλος ἐλαίης ἕρκεος ἐντός ,
ἀκμηνὸς θαλέθων · πάχετος δ᾽ ἦν ἠΰτε κίων .
Τῷ δ ᾽ ἐγὼ ἀμφιβαλὼν θάλαμον δέμον , ὄφρα τέλεσσα ,
πυκνῇσιν λιθάδεσσι , καὶ εὖ καθύπερθεν ἔρεψα ,
κολλητὰς δ ᾽ ἐπέθηκα θύρας , πυκινῶς ἀραρυίας .
Καὶ τότ ᾽ ἔπειτ ᾽ ἀπέκοψα κόμην τανυφύλλου ἐλαίης ·
κορμὸν δ ᾽ ἐκ ῥίζης προταμὼν ἀμφέξεσα χαλκῷ
εὖ καὶ ἐπισταμένως , καὶ ἐπὶ στάθμην ἴθυνα ,
ἑρμῖν ᾽ ἀσκήσας · τέτρηνα δὲ πάντα τερέτρῳ .
Ἐκ δὲ τοῦ ἀρχόμενος λέχος ἔξεον , ὄφρα τέλεσσα ,
δαιδάλλων χρυσῷ τε καὶ ἀργύρῳ ἠδ ᾽ ἐλέφαντι ·
ἐκ δ ᾽ ἐτάνυσσα ἱμάντα βοὸς φοίνικι φαεινόν .
Οὕτω τοι τόδε σῆμα πιφαύσκομαι · οὐδέ τι οἶδα ,
ἤ μοι ἔτ ᾽ ἔμπεδόν ἐστι , γύναι , λέχος , ἦέ τις ἤδη
ἀνδρῶν ἄλλοσε θῆκε , ταμὼν ὕπο πυθμέν ᾽ ἐλαίης . »
Ὣς φάτο · τῆς δ ᾽ αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ ,
σήματ ᾽ ἀναγνούσης , τά οἱ ἔμπεδα πέφραδ ᾽ Ὀδυσσεύς ·
δακρύσασα δ ᾽ ἔπειτ ᾽ ἰθὺς δράμεν · ἀμφὶ δὲ χεῖρας
δειρῇ βάλλ ᾽ Ὀδυσῆϊ , κάρη δ ᾽ ἔκυσ᾽ , ἠδὲ προσηύδα ·
« Μή μοι , Ὀδυσσεῦ, σκύζευ , ἐπεὶ τά περ ἄλλα μάλιστα
ἀνθρώπων πέπνυσο · θεοὶ δ᾽ ὤπαζον ὀϊζύν ,
οἳ νῶϊν ἀγάσαντο παρ ᾽ ἀλλήλοισι μένοντε

ἥβης ταρπῆναι καὶ γήραος οὐδὸν ἱκέσθαι .
Αὐτὰρ μὴ νῦν μοι τόδε χώεο μηδὲ νεμέσσα ,
οὕνεκά σ ' οὐ τὸ πρῶτον , ἐπεὶ ἴδον , ὧδ ' ἀγάπησα .
Αἰεὶ γάρ μοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
ἐρρίγει μή τίς με βροτῶν ἀπάφοιτο ἔπεσσιν
ἐλθών · πολλοὶ γὰρ κακὰ κέρδεα βουλεύουσιν .
[ Οὐδέ κεν Ἀργείη Ἑλένη , Διὸς ἐκγεγαυῖα ,
ἀνδρὶ παρ ' ἀλλοδαπῷ ἐμίγη φιλότητι καὶ εὐνῇ ,
εἰ ᾔδει ὅ μιν αὖτις ἀρήϊοι υἷες Ἀχαιῶν
ἀξέμεναι οἶκόνδε φίλην ἐς πατρίδ ' ἔμελλον .
Τὴν δ ' ἦτοι ῥέξαι θεὸς ὤρορεν ἔργον ἀεικές ·
τὴν δ' ἄτην οὐ πρόσθεν ἑῷ ἐγκάτθετο θυμῷ
λυγρήν , ἐξ ἧς πρῶτα καὶ ἡμέας ἵκετο πένθος . ]
Νῦν δ ', ἐπεὶ ἤδη σήματ ' ἀριφραδέα κατέλεξας
εὐνῆς ἡμετέρης , τὴν οὐ βροτὸς ἄλλος ὀπώπει ,
ἀλλ ' οἶοι σύ τ ' ἐγώ τε καὶ ἀμφίπολος μία μούνη ,
Ἀκτορίς , ἥν μοι ἔδωκε πατὴρ ἔτι δεῦρο κιούσῃ ,
ἣ νῶϊν εἴρυτο θύρας πυκινοῦ θαλάμοιο ,
πείθεις δή μευ θυμόν , ἀπηνέα περ μάλ ' ἐόντα . »
Ὣς φάτο , τῷ δ ' ἔτι μᾶλλον ὑφ ' ἵμερον ὦρσε γόοιο ·
κλαῖε δ ' ἔχων ἄλοχον θυμηρέα , κεδνὰ ἰδυῖαν .
Ὡς δ ' ὅτ ' ἂν ἀσπάσιος γῆ νηχομένοισι φανείῃ ,
ὧντε Ποσειδάων εὐεργέα νῆ ' ἐνὶ πόντῳ
ῥαίσῃ , ἐπειγομένην ἀνέμῳ καὶ κύματι πηγῷ ·
παῦροι δ ' ἐξέφυγον πολιῆς ἁλὸς ἤπειρόνδε
νηχόμενοι , πολλὴ δὲ περὶ χροῒ τέτροφεν ἅλμη ·
ἀσπάσιοι δ ' ἐπέβαν γαίης , κακότητα φυγόντες ·
ὣς ἄρα τῇ ἀσπαστὸς ἔην πόσις εἰσοροώσῃ ·
δειρῆς δ ' οὔπω πάμπαν ἀφίετο πήχεε λευκώ .

**241-287 Ulysse annonce à Pénélope ses futures épreuves**

**Le nouveau départ, l’errance, et la rame**

Καί νύ κ ' ὀδυρομένοισι φάνη ῥοδοδάκτυλος Ἠώς ,
εἰ μὴ ἄρ ' ἄλλ ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη .
Νύκτα μὲν ἐν περάτῃ δολιχὴν σχέθεν , Ἠόα δ ' αὖτε
ῥύσατ ' ἐπ ' Ὠκεανῷ χρυσόθρονον , οὐδ ' ἔα ἵππους
ζεύγνυσθ ' ὠκύποδας , φάος ἀνθρώποισι φέροντας ,
Λάμπον καὶ Φαέθονθ ', οἵτ' Ἠόα πῶλοι ἄγουσι .
Καὶ τότε ἣν ἄλοχον προσέφη πολύμητις Ὀδυσσεύς ·
« Ὦ γύναι , οὐ γάρ πω πάντων ἐπὶ πείρατ ' ἀέθλων
ἤλθομεν , ἀλλ ' ἔτ ' ὄπισθεν ἀμέτρητος πόνος ἔσται ,
πολλὸς καὶ χαλεπός , τὸν ἐμὲ χρὴ πάντα τελέσσαι .
Ὣς γάρ μοι ψυχὴ μαντεύσατο Τειρεσίαο
ἤματι τῷ ὅτε δὴ κατέβην δόμον Ἄϊδος εἴσω ,
νόστον ἑταίροισιν διζήμενος ἠδ ' ἐμοὶ αὐτῷ .
Ἀλλ ' ἔρχευ, λέκτρονδ' ἴομεν , γύναι , ὄφρα καὶ ἤδη
ὕπνῳ ὕπο γλυκερῷ ταρπώμεθα κοιμηθέντε . »
Τὸν δ ' αὖτε προσέειπε περίφρων Πηνελόπεια ·
« Εὐνὴ μὲν δὴ σοίγε τότ ' ἔσσεται ὁππότε θυμῷ
σῷ ἐθέλῃς , ἐπεὶ ἄρ σε θεοὶ ποίησαν ἱκέσθαι
οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν ·
ἀλλ ' ἐπεὶ ἐφράσθης , καί τοι θεὸς ἔμβαλε θυμῷ ,
εἴπ ' ἄγε μοι τὸν ἄεθλον , ἐπεὶ καὶ ὄπισθεν , ὀΐω ,
πεύσομαι · αὐτίκα δ ' ἐστὶ δαήμεναι οὔτι χέρειον . »
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς ·
« Δαιμονίη , τί τ ' ἄρ ' αὖ με μάλ ' ὀτρύνουσα κελεύεις
εἰπέμεν ; Αὐτὰρ ἐγὼ μυθήσομαι οὐδ ' ἐπικεύσω .
Οὐ μέν τοι θυμὸς κεχαρήσεται · οὐδὲ γὰρ αὐτὸς
χαίρω , ἐπεὶ μάλα πολλὰ βροτῶν ἐπὶ ἄστε ' ἄνωγεν
ἐλθεῖν , ἐν χείρεσσιν ἔχοντ ' εὐῆρες ἐρετμόν ,
εἰς ὅ κε τοὺς ἀφίκωμαι οἳ οὐκ ἴσασι θάλασσαν
ἀνέρες , οὐδέ θ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν ·
οὐδ ' ἄρα τοί γ ' ἴσασι νέας φοινικοπαρῄους ,
οὐδ ' εὐήρε ' ἐρετμά , τά τε πτερὰ νηυσὶ πέλονται .
Σῆμα δέ μοι τόδ ' ἔειπεν ἀριφραδές , οὐδέ σε κεύσω ·
ὁππότε κεν δή μοι ξυμβλήμενος ἄλλος ὁδίτης

φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ ,
καὶ τότε μ ’ ἐν γαίῃ πήξαντ ’ ἐκέλευεν ἐρετμόν ,
ἔρξανθ ’ ἱερὰ καλὰ Ποσειδάωνι ἄνακτι ,
ἀρνειὸν ταῦρόν τε συῶν τ ’ ἐπιβήτορα κάπρον ,
οἴκαδ ’ ἀποστείχειν , ἔρδειν θ ’ ἱερὰς ἑκατόμβας
ἀθανάτοισι θεοῖσι , τοὶ οὐρανὸν εὐρὺν ἔχουσι ,
πᾶσι μάλ ’ ἑξείης · θάνατος δέ μοι ἐξ ἁλὸς αὐτῷ
ἀβληχρὸς μάλα τοῖος ἐλεύσεται , ὅς κέ με πέφνῃ
γήραι ὕπο λιπαρῷ ἀρημένον · ἀμφὶ δὲ λαοὶ
ὄλβιοι ἔσσονται · τὰ δέ μοι φάτο πάντα τελεῖσθαι . »
Τὸν δ ’ αὖτε προσέειπε περίφρων Πηνελόπεια ·
« Εἰ μὲν δὴ γῆράς γε θεοὶ τελέουσιν ἄρειον ,
ἐλπωρή τοι ἔπειτα κακῶν ὑπάλυξιν ἔσεσθαι . »

### 288- 343 Pénélope raconte à Ulysse ses épreuves
### Ulysse résume à Pénélope son odyssée

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον ·
τόφρα δ ’ ἄρ ’ Εὐρυνόμη τε ἰδὲ τροφὸς ἔντυον εὐνὴν
ἐσθῆτος μαλακῆς , δαΐδων ὕπο λαμπομενάων .
Αὐτὰρ ἐπεὶ στόρεσαν πυκινὸν λέχος ἐγκονέουσαι ,
γρηῢς μὲν κείουσα πάλιν οἶκόνδε βεβήκει ·
τοῖσιν δ ’ Εὐρυνόμη θαλαμηπόλος ἡγεμόνευεν
ἐρχομένοισι λέχοσδε , δάος μετὰ χερσὶν ἔχουσα ·
ἐς θάλαμον δ ’ ἀγαγοῦσα πάλιν κίεν . Οἱ μὲν ἔπειτα
ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν ἵκοντο .
Αὐτὰρ Τηλέμαχος καὶ βουκόλος ἠδὲ συβώτης
παῦσαν ἄρ ’ ὀρχηθμοῖο πόδας , παῦσαν δὲ γυναῖκας ·
αὐτοὶ δ ’ εὐνάζοντο κατὰ μέγαρα σκιόεντα .
Τὼ δ’ ἐπεὶ οὖν φιλότητος ἐταρπήτην ἐρατεινῆς ,
τερπέσθην μύθοισι , πρὸς ἀλλήλους ἐνέποντε ·
ἡ μὲν ὅσ ’ ἐν μεγάροισιν ἀνέσχετο δῖα γυναικῶν ,
ἀνδρῶν μνηστήρων ἐσορῶς ’ ἀΐδηλον ὅμιλον ,
οἳ ἕθεν εἵνεκα πολλά , βόας καὶ ἴφια μῆλα ,

ἔσφαζον , πολλὸς δὲ πίθων ἠφύσσετο οἶνος ·
αὐτὰρ ὁ Διογενὴς Ὀδυσεὺς ὅσα κήδε ’ ἔθηκεν
ἀνθρώποισ ’ ὅσα τ ’ αὐτὸς ὀϊζύσας ἐμόγησε ,
πάντ ’ ἔλεγ ’· ἡ δ ’ ἄρ’ ἐτέρπετ ’ ἀκούουσ ’, οὐδέ οἱ ὕπνος
πῖπτεν ἐπὶ βλεφάροισι πάρος καταλέξαι ἅπαντα .

Ἤρξατο δ ’ ὡς πρῶτον Κίκονας δάμας ’· αὐτὰρ ἔπειτα
ἦλθ ’ ἐς Λωτοφάγων ἀνδρῶν πίειραν ἄρουραν ·
ἠδ ’ ὅσα Κύκλωψ ἔρξε , καὶ ὡς ἀπετίσατο ποινὴν
ἰφθίμων ἑτάρων , οὓς ἤσθιεν οὐδ ’ ἐλέαιρεν ·
ἠδ ’ ὡς Αἴολον ἵκεθ ’ , ὅ μιν πρόφρων ὑπέδεκτο
καὶ πέμπ ’ , οὐδέ πω αἶσα φίλην ἐς πατρίδ ’ ἱκέσθαι
ἤην , ἀλλά μιν αὖτις ἀναρπάξασα θύελλα
πόντον ἐπ ’ ἰχθυόεντα φέρεν βαρέα στενάχοντα ·
ἠδ ’ ὡς Τηλέπυλον Λαιστρυγονίην ἀφίκανεν ,
οἳ νῆάς τ ’ ὄλεσαν καὶ ἐϋκνήμιδας ἑταίρους
[ πάντας · Ὀδυσσεὺς δ ’ οἶος ὑπέκφυγε νηῒ μελαίνῃ ] ·
καὶ Κίρκης κατέλεξε δόλον πολυμηχανίην τε ,
ἠδ ’ ὡς εἰς Ἀΐδεω δόμον ἤλυθεν εὐρώεντα ,
ψυχῇ χρησόμενος Θηβαίου Τειρεσίαο ,
νηῒ πολυκλήϊδι , καὶ εἴσιδε πάντας ἑταίρους
μητέρα θ ’, ἥ μιν ἔτικτε καὶ ἔτρεφε τυτθὸν ἐόντα ·
ἠδ ’ ὡς Σειρήνων ἀδινάων φθόγγον ἄκουσεν ·
ὥς θ ’ ἵκετο Πλαγκτὰς πέτρας δεινήν τε Χάρυβδιν
Σκύλλην θ ’ , ἣν οὔ πώποτ ’ ἀκήριοι ἄνδρες ἄλυξαν ·
ἠδ ’ ὡς Ἠελίοιο βόας κατέπεφνον ἑταῖροι ·
ἠδ ’ ὡς νῆα θοὴν ἔβαλε ψολόεντι κεραυνῷ
Ζεὺς ὑψιβρεμέτης , ἀπὸ δ ’ ἔφθιθεν ἐσθλοὶ ἑταῖροι
πάντες ὁμῶς , αὐτὸς δὲ κακὰς ὑπὸ Κῆρας ἄλυξεν ·
ὥς θ ’ ἵκετ ’ Ὠγυγίην νῆσον νύμφην τε Καλυψώ ,
ἣ δή μιν κατέρυκε , λιλαιομένη πόσιν εἶναι ,
ἐν σπέεσι γλαφυροῖσι , καὶ ἔτρεφεν ἠδὲ ἔφασκεν
θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα ·
ἀλλὰ τοῦ οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν ·
ἠδ ’ ὡς ἐς Φαίηκας ἀφίκετο πολλὰ μογήσας ,

οἳ δή μιν περὶ κῆρι θεὸν ὣς τιμήσαντο ,
καὶ πέμψαν σὺν νηῒ φίλην ἐς πατρίδα γαῖαν ,
χαλκόν τε χρυσόν τε ἅλις ἐσθῆτά τε δόντες .
Τοῦτ ' ἄρα δεύτατον εἶπεν ἔπος , ὅτε οἱ γλυκὺς ὕπνος
λυσιμελὴς ἐπόρουσε , λύων μελεδήματα θυμοῦ .

### 344-372 Ulysse part chez son père Laërte
### Retour aux armes

Ἡ δ ' αὖτ ' ἄλλ ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη ·
ὁππότε δή ῥ ' Ὀδυσῆα ἐέλπετο ὃν κατὰ θυμὸν
εὐνῆς ἧς ἀλόχου ταρπήμεναι ἠδὲ καὶ ὕπνου ,
αὐτίκ ' ἀπ ' Ὠκεανοῦ χρυσόθρονον ἠριγένειαν
ὦρσεν , ἵν ' ἀνθρώποισι φόως φέροι . Ὦρτο δ ' Ὀδυσσεὺς
εὐνῆς ἐκ μαλακῆς , ἀλόχῳ δ ' ἐπὶ μῦθον ἔτελλεν ·
« Ὦ γύναι , ἤδη μὲν πολέων κεκορήμεθ ' ἀέθλων
ἀμφοτέρω , σὺ μὲν ἐνθάδ ' ἐμὸν πολυκηδέα νόστον
κλαίουσ ' · αὐτὰρ ἐμὲ Ζεὺς ἄλγεσι καὶ θεοὶ ἄλλοι
ἱέμενον πεδάασκον ἐμῆς ἀπὸ πατρίδος αἴης ·
νῦν δ ' ἐπεὶ ἀμφοτέρω πολυήρατον ἱκόμεθ ' εὐνήν ,
κτήματα μὲν τά μοι ἔστι , κομιζέμεν ἐν μεγάροισι ·
μῆλα δ ' ἅ μοι μνηστῆρες ὑπερφίαλοι κατέκειραν ,
πολλὰ μὲν αὐτὸς ἐγὼ ληΐσσομαι , ἄλλα δ ' Ἀχαιοὶ
δώσουσ ' , εἰς ὅ κε πάντας ἐνιπλήσωσιν ἐπαύλους .
ἀλλ ' ἦτοι μὲν ἐγὼ πολυδένδρεον ἀγρὸν ἔπειμι ,
ὀψόμενος πατέρ ' ἐσθλόν , ὅ μοι πυκινῶς ἀκάχηται ·
σοὶ δέ , γύναι , τάδ ' ἐπιτέλλω , πινυτῇ περ ἐούσῃ
αὐτίκα γὰρ φάτις εἶσιν ἅμ ' ἠελίῳ ἀνιόντι
ἀνδρῶν μνηστήρων , οὓς ἔκτανον ἐν μεγάροισιν ·
εἰς ὑπερῷ ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν
ἧσθαι , μηδέ τινα προτιόσσεο μηδ ' ἐρέεινε . »
Ἦ ῥα καὶ ἀμφ ' ὤμοισιν ἐδύσετο τεύχεα καλά ,
ὦρσε δὲ Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην ,
πάντας δ ' ἔντε ' ἄνωγεν ἀρήϊα χερσὶν ἑλέσθαι .

Οἱ δέ οἱ οὐκ ἀπίθησαν , ἐθωρήσσοντο δὲ χαλκῷ ·
ὤϊξαν δὲ θύρας , ἐκ δ ᾽ ἤϊον · ἦρχε δ᾽ Ὀδυσσεύς .
Ἤδη μὲν φάος ἦεν ἐπὶ χθόνα , τοὺς δ ᾽ ἄρ᾽ Ἀθήνη
νυκτὶ κατακρύψασα θοῶς ἐξῆγε πόληος .